### ΚΥΜΑΙΩΝ πολιτεία.

Ἐν τοῖς εἰς τὸν Σοφοκλέους Οἰδίποδα τύραννον σχολίοις, Ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα, δῆλον. οὔτε γὰρ Ὅμηρος, οὔτε Ἡσίοδος, οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν, τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει. ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ, τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας προσαγορεύεσθαι. εὐφημότερον γὰρ ἐκεῖνο τοὔνομα.

### ΚΥΠΡΙΩΝ πολιτεία.

Ἁρποκρατίων. Ἄνακτες καὶ ἄνασσαι· οἱ μὲν υἱοὶ καὶ ἀδελφοὶ τοῦ βασιλέως, καλοῦνται ἄνακτες· αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες, ἄνασσαι. Ἀριστοτέλης ἐν τῇ Κυπρίων πολιτείᾳ.

### ΚΥΡΗΝΑΙΩΝ πολιτεία.

Πολυδεύκης ἐν τῷ θ.

### ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ πολιτεία.

Ἁρποκρατίων. Μόρων, συντάγματά τινα Λακωνικὰ οὕτω καλεῖται. διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ. φησὶ δὲ ὡς εἰσὶ μοῖραι [μόραι] ὠνομασμέναι, καὶ διῄρηνται εἰς τὰς μοίρας Λακεδαιμόνιοι πάντες.

### ΛΕΥΚΑΔΙΩΝ πολιτεία.

Στράβων ζ Γεωγραφικῶν. Κεῖται ἤδη καὶ τοῦτο.

### ΛΟΚΡΩΝ πολιτεία.

Κλήμης ὁ Ἀλεξανδρεὺς, Στρωματέων α. Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν τῷ περὶ μέθης, καὶ Ἀριστοτέλης ἐν τῇ Λοκρῶν πολιτείᾳ Ζάλευκον τὸν Λοκρὸν παρὰ τῆς Ἀθηνᾶς τοὺς νόμους λαμβάνειν ἀπομνημονεύουσι.

### ΜΑΣΣΑΛΙΩΤΩΝ πολιτεία.

Ἀθήναιος Δειπνοσοφιστῶν ιγ. Τὸ ὅμοιον ἱστορεῖ γενέσθαι καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ, γράφων οὕτως. Φωκαεῖς οἱ ἐν Ἰωνίᾳ ἐμπορίᾳ χρώμενοι ἔκτισαν Μασσαλίαν. Εὔξενος δὲ ὁ Φωκαεὺς Νάνῳ τῷ βασιλεῖ, τοῦτο δ᾽ ἦν αὐτῷ ὄνομα, ἦν ξένος· οὗτος ὁ Νάνος ἐπιτελῶν γάμους τῆς θυγατρὸς, κατὰ τύχην παραγενόμενον τὸν Εὔξενον παρακέκληκεν ἐπὶ τὴν θοίνην. ὁ δὲ γάμος ἐγίνετο τόνδε τὸν τρόπον. ἔδει μετὰ τὸ δεῖπνον εἰσελθοῦσαν τὴν παῖδα φιάλην κεκερασμένην ᾧ βούλοιτο δοῦναι τῶν παρόντων μνηστήρων· ᾧ δὲ δοίη, τοῦτον εἶναι νυμφίον. ἡ δὲ παῖς εἰσελθοῦσα δίδωσιν εἴτε ἀπὸ τύχης, εἴτε καὶ δι᾽ ἄλλην τινὰ αἰτίαν τῷ Εὐξένῳ· ὄνομα δὲ ἦν τῇ παιδὶ Πέττα. τούτου δὲ συμβάντος, καὶ τοῦ πατρὸς ἀξιοῦντος, ὡς κατὰ θεὸν γενομένης τῆς δόσεως, ἔχειν αὐτὴν, ἔλαβεν ὁ Εὔξενος γυναῖκα, καὶ συνῴκει, μεταθέμενος τοὔνομα Ἀριστοξένην. καὶ ἔστι γένος ἐν Μασσαλίᾳ ἀπὸ τῆς ἀνθρώπου, μέχρι νῦν Πρωτιάδαι καλούμενον. Πρῶτις γὰρ ἐγένετο υἱὸς Εὐξένου καὶ Ἀριστοξένης.

### ΜΕΓΑΡΕΩΝ πολιτεία.

Ἐν τοῖς Σουΐδα.

### ΜΕΘΩΝΑΙΩΝ πολιτεία.

Ἀθήναιος Δειπνοσοφιστῶν ς. Ἀριστοτέλης δ᾽ ἐν τῇ Μεθωναίων πολιτείᾳ, παράσιτοι φησὶ, τοῖς μὲν ἄρχουσι δύο καθ᾽ ἕκαστον ἦσαν. τοῖς δὲ πολεμάρχοις εἷς. τεταγμένα δὲ ἐλάμβανον παρ᾽ ἄλλων τέ τινων καὶ τῶν ἁλιέων ὄψον.

### ΜΗΛΙΕΩΝ πολιτεία.

Ἐν τοῖς Σουΐδα.

### ΝΑΞΙΩΝ πολιτεία.

Ἀθήναιος Δειπνοσοφιστῶν η. Ἀριστοτέλης ἐν τῇ Ναξίων πολιτείᾳ περὶ τῆς παροιμίας οὕτως γράφει. τῶν παρὰ Ναξίοις εὐπόρων, οἱ μὲν πολλοὶ τὸ ἄστυ ᾤκουν, οἱ δὲ ἄλλοι διεσπαρμένοι κατὰ κώμας. ἐν οὖν δή τινι τῶν κωμῶν, ᾗ ὄνομα ἦν Λυστάδαι, Τελεσαγόρας ᾤκει, πλούσιός τε σφόδρα καὶ εὐδοκιμῶν, καὶ τιμώμενος παρὰ τῷ δήμῳ τοῖς τ᾽ ἄλλοις ἅπασι, καὶ τοῖς καθ᾽ ἡμέραν πεμπομένοις. καὶ ὅτε καταβάντες ἐκ τῆς πόλεως δυσωνοῖεν τὸ τι τῶν πωλουμένων, ἔθος ἦν τοῖς πωλοῦσι λέγειν, ὅτι μᾶλλον ἂν προέλοιντο Τελεσαγόρᾳ δοῦναι, ἢ τοσούτου ἀποδόσθαι. νεανίσκοι οὖν τινες ὠνούμενοι μέγαν ἰχθὺν, εἰπόντος τοῦ ἁλιέως τὰ αὐτὰ, λυπηθέντες τῷ πολλάκις ἀκούειν, ὑποπιόντες ἐκώμασαν πρὸς αὐτόν. δεξαμένου δὲ τοῦ Τελεσαγόρου φιλοφρόνως αὐτοὺς, οἱ νεανίσκοι αὐτόν τε ὕβρισαν, καὶ δύο θυγατέρας αὐτοῦ ἐπιγαμίους. ἐφ᾽ οἷς ἀγανακτήσαντες οἱ Νάξιοι, καὶ τὰ ὅπλα ἀναλαβόντες ἐπῆλθον τοῖς νεανίσκοις. καὶ μεγίστη τότε στάσις ἐγένετο, προστατοῦντος τῶν Ναξίων Λυγδάμιδος, ὃς ἀπὸ ταύτης τῆς στρατηγίας τύραννος ἀνεφάνη τῆς πατρίδος.

### ΟΠΟΥΝΤΙΩΝ πολιτεία.

Ἡσύχιος. Ἄσπετος, ὁ Ἀχιλλεὺς ἐν Ἠπείρῳ ὥς φησιν ὁ Ἀριστοτέλης ἐν Ὀπουντίων πολιτείᾳ.